# Council of Nicaea Documents (Greek and Latin) – Part 7

**Sources Used**
Excerpts from the *Die Griechischen Christlichlen Schriftsteller* (GCS) and *Athanasius Werke* series are used by permission. Most other texts and translations are in the public domain. Click here for a key to the FCC (fourthcentury.com) translators.

This work is licensed under CC BY-NC-SA 4.0

**Anonymous Church History (pseudo-Gelasius) (CPG 6034)**
Greek text: *Anonyme Kirchengeschichte (Galezius Cyzicenus, CPG 6034)*, ed. Günther Christian Hansen. GCS N.F. 9 (Walter de Gruyter: Berlin, 2002).
English translation by FCC (NJ and RR).

**Athanasius, Letter to the Bishops of Africa (CPG 2133)**
Greek text: *Athanasius Werke*, vol. 2.8, ed. H.C. Brennecke et al. (Berlin, 2000).
English translation by A. Robertson (NPNF[2] 4:488-494), updated by FCC (AGC).

**On the Nicene Definition (de Decretis) (CPG 2120)**
Greek text: *Athanasius Werke*, vol. 2.1-2:1-45, ed. H.-G. Opitz (Berlin, 1935).
English translation by J. H. Newman and A. Robertson (NPNF[2] 4:149-172), updated by FCC (AGC).

**On the Synods of Ariminum and Seleucia (de Synodis) (CPG 2128)**
Greek text: *Athanasius Werke*, vol. 2.6-7, ed. H.-G. Opitz (Berlin, 1940).
English translation by J. H. Newman and A. Robertson (NPNF[2] 4:48-480), updated by FCC (AGC).

**Eusebius of Caesarea, Life of Constantine (CPG 3496)**
Greek text: *Eusebius Werke* 2. Die Kirchengeschichte, ed. E. Schwartz. GCS 9.1 (Leipzig, 1903).
English translation by A.C. McGiffert (NPNF[2] 1:73-404), updated by FCC (AGC).

**Gelasius of Caesarea, Ecclesiastical History (CPG 3521)**
Greek Text and English translation: Ecclesiastical History: The Extant Fragments With an Appendix containing the Fragments from Dogmatic Writings. GCS, ed. M. Wallraff, J. Stutz, and N. Marinides. Translated by N. Marinides. (De Gruyter, 2018).

**Jerome, Dialogue Against the Luciferians (CPL 608)**
Latin Text: Patrologia Latina vol. 23, coll. 153-182B. ed. J.P. Migne, (Paris, 1883).
English translation by W.H. Fremantle (NPNF[2], 6:319-34), updated by FCC (AGC).

**Philostorgius, Ecclesiastical History (CPG 6032)**
Greek Text: Philostorgius Kirchengeschichte., ed. J. Bidez. GCS 21 (Leipzig, 1913).
English translation by FCC (AGC).

**Rufinus of Aquileia, Ecclesiastical History**
Latin text: *Eusebius Werke* 2.2. Die Kirchengeschichte, ed. E. Schwartz and T. Mommsen (Leipzig, 1908).
English translation by FCC (AGC).

**Socrates, Ecclesiastical History (CPG 6028)**
Greek Text: ed. G.C. Hansen. GCS N.F. 1, Berlin, New York: De Gruyter, 1995.
English translation by A.C. Zenos (NPNF[2] 2:1-178).

**Sozomen, Ecclesiastical History (CPG 6030)**
Greek Text: G.C. Hansen, *Sozomenus Kirchengeschichte*, 2nd ed., GCS N.F. 4. (Berlin 1995)
English translation by C. Hartranft (NPNF[2] 2:179-427).

**Theodoret, Ecclesiastical History (CPG 6222)**
Greek Text: Theodoret: Kirchengeschichte. ed. Parmentier, Léon, GCS N.F. 5. Berlin, New York: De Gruyter, 1998.
English translation by B. Jackson (NPNF[2] 3:33-159).

## 20 May-July 325 – The duration of the council

| Socrates | Anonymous Church History |
|---|---|
| 1.13.12b καὶ ὁ χρόνος δὲ τῆς συνόδου, ὡς ἐν παρασημειώσεσιν εὕρομεν, ὑπατείας Παυλίνου καὶ Ἰουλιανοῦ τῇ εἰκάδι τοῦ Μαΐου μηνός· τοῦτο δὲ ἦν ἔτος ἑξακοσιοστὸν τριακοστὸν ἕκτον ἀπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως, ἀπὸ δὲ τῆς Κωνσταντίνου βασιλείας ἐννεακαιδέκατον ἔτος ἦν.  Τὰ μὲν οὖν τῆς συνόδου τέλος εἶχεν. Ἰστέον δέ, ὅτι μετὰ τὴν σύνοδον ὁ μὲν βασιλεὺς ἐπὶ τὰ ἑῷα μέρη ἀφίκετο. | 2.37.28 ἑξκαιδεκάτῳ μὲν ἔτει καὶ μησὶν ἓξ τῆς βασιλείας αὐτοῦ, καθὼς καὶ ἀνωτέρω ὁ λόγος ἀπέδειξε κατὰ τὰ παλαιὰ διηγήματα, τὴν ἁγίαν τῶν ἐπισκόπων συναθροίσας σύνοδον. εἰκοστῷ δὲ ἔτει διαλυσάντων τὸ τῆς συνόδου συνέδριον, ἀνέλυσεν ἕκαστος εἰς τὰς ἰδίας παροικίας, καθὼς προανατέτακται. |

## Athanasius’ letter to the bishops in Africa

### Theodoret

1.8.6b ὁ δὲ τούτου συναγωνιστὴς καὶ τῆς ἀληθείας πρόβολος Ἀθανάσιος, ὁ τῆς Ἀλεξάνδρου τοῦ πανευφήμου προεδρίας διάδοχος, οἷς πρὸς τοὺς Ἄφρους ἐπιστέλλων γέγραφε καὶ ταῦτα προστέθεικε·

### Athanasius, *Letter to the Bishops of Africa*

1 Ἱκανὰ μὲν τὰ γραφέντα παρά τε τοῦ ἀγαπητοῦ καὶ συλλειτουργοῦ ἡμῶν Δαμάσου τοῦ ἐπισκόπου τῆς μεγάλης Ῥώμης καὶ τῶν σὺν αὐτῷ τοσούτων συνελθόντων ἐπισκόπων, οὐδὲν δὲ ἧττον καὶ τὰ τῶν ἄλλων γενομένων συνόδων ἔν τε τῇ Γαλλίᾳ καὶ τῇ Ἰταλίᾳ περὶ τῆς ὑγιαινούσης πίστεως, ἣν ὁ μὲν κύριος ἐχαρίσατο, οἱ δὲ ἀπόστολοι ἐκήρυξαν καὶ οἱ πατέρες παραδεδώκασιν οἱ ἐν τῇ Νικαίᾳ συνελθόντες ἀπὸ πάσης τῆς καθ᾽ ἡμᾶς οἰκουμένης. τοσαύτη γὰρ γέγονε τότε σπουδὴ διὰ τὴν ἀρειανὴν αἵρεσιν, ἵνα οἱ μὲν πεπτωκότες εἰς αὐτὴν ἀνασπασθῶσιν, οἱ δὲ ἐφευρόντες ἔκδηλοι γένωνται. ταύτῃ γοῦν καὶ πάλαι πᾶσα ἡ οἰκουμένη συμπεφώνηκε καὶ νῦν δὲ πολλῶν συνόδων γενομένων ὑπομνησθέντες πάντες οἵ τε κατὰ τὴν Δαλματίαν καὶ Δαρδανίαν καὶ Μακεδονίαν Ἠπείρους τε καὶ τὴν Ἑλλάδα καὶ Κρήτην καὶ τὰς ἄλλας νήσους Σικελίαν τε καὶ Κύπρον καὶ Παμφυλίαν Λυκίαν τε καὶ Ἰσαυρίαν καὶ πᾶσαν τὴν Αἴγυπτον καὶ τὰς Λιβύας καὶ πλεῖστοι τῶν ἐν τῇ Ἀραβίᾳ ταύτην ἐπέγνωσαν καὶ ἐθαύμασάν τε τοὺς ὑπογράψαντας, ὅτι εἰ καί τι περιελέλειπτο παρ᾽ αὐτοῖς ἐκ τῆς ῥίζης <τῆς> τῶν ἀρειανῶν ἄνω φύουσα πικρία, Αὐξέντιόν φαμεν καὶ Οὐρσάκιον καὶ Οὐάλεντα καὶ τοὺς τὰ αὐτὰ φρονοῦντας αὐτοῖς, οὗτοι διὰ τῶν γραμμάτων τούτων ἐξεκόπησαν καὶ ἀπηλείφθησαν. ἱκανὰ μὲν οὖν τὰ ἐν τῇ Νικαίᾳ ὁμολογηθέντα καὶ αὐτάρκη, καθὰ προείπομεν, πρός τε ἀνατροπὴν πάσης ἀσεβοῦς αἱρέσεως καὶ πρὸς ἀσφάλειαν καὶ ὠφέλειαν τῆς ἐκκλησιαστικῆς διδασκαλίας. ἐπειδὴ δὲ ἠκούσαμεν, ὅτι τινὲς βουλόμενοι μάχεσθαι πρὸς αὐτὴν ὀνομάζειν ἐπιχειροῦσι σύνοδόν τινα ὡς ἐν Ἀριμήνῳ γενομένην καὶ φιλονεικοῦσι ταύτην μᾶλλον ἢ ἐκείνην κρατεῖν, ἀναγκαῖον ἡγησάμεθα γράψαι καὶ ὑπομνῆσαι ὑμᾶς, ἵνα μὴ ἀνέχησθε τῶν τοιούτων· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ πάλιν τῆς ἀρειανῆς αἱρέσεως παραφυάς. οἱ γὰρ τὴν κατ᾽ αὐτῆς σύνοδον γενομένην παραιτούμενοι - ἔστι δὲ ἡ ἐν Νικαίᾳ γενομένη - τί ἕτερον βούλονται ἢ τὰ Ἀρείου κρατεῖν; τίνος οὖν ἄξιοι οἱ τοιοῦτοι ἢ Ἀρειανοὶ μὲν καλεῖσθαι, τῆς δὲ αὐτῆς ἐπιτιμίας ἐκείνοις μετασχεῖν; οἳ μήτε τὸν θεὸν ἐφοβήθησαν λέγοντα· “**μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου**” [Prov. 22:28] καί “**ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω**” [Exod. 21:17] μήτε τοὺς πατέρας ᾐδέσθησαν παραγγείλαντας ἀνάθεμα εἶναι τοὺς τὰ ἐναντία φρονοῦντας τῆς ὁμολογίας αὐτῶν.

2 Διὰ τοῦτο γὰρ καὶ οἰκουμενικὴ γέγονεν ἡ ἐν Νικαίᾳ σύνοδος τριακοσίων δέκα καὶ ὀκτὼ συνελθόντων ἐπισκόπων περὶ τῆς πίστεως διὰ τὴν ἀρειανὴν ἀσέβειαν, ἵνα μηκέτι κατὰ μέρος προφάσει πίστεως γίνωνται, ἀλλὰ κἂν γένωνται μὴ κρατῶσι. τί γὰρ ἐκείνῃ λείπει, ἵνα καινότερα ζητήσῃ τις; πλήρης ἐστὶν εὐσεβείας, ἀγαπητοί· αὕτη πᾶσαν τὴν οἰκουμένην πεπλήρωκε. ταύτην ἔγνωσαν καὶ Ἰνδοὶ καὶ ὅσοι παρὰ τοῖς ἄλλοις βαρβάροις εἰσὶ Χριστιανοί. οὐκοῦν μάταιος ὁ κάματος τοῖς κατ᾽ αὐτῆς πολλάκις ἐπιχειρήσασιν. ἤδη γὰρ οἱ τοιοῦτοι δέκα καὶ πλέον που συνόδους πεποιήκασι καθ᾽ ἑκάστην μεταβαλλόμενοι καὶ τὰ μὲν ἀπὸ τῶν πρωτῶν ἀφαιροῦντες, τὰ δὲ ταῖς μετὰ ταῦτα ἐναλλάσσοντες καὶ προστιθέντες. καὶ ὤνησαν οὐδὲν μέχρι νῦν γράφοντες ἐξαλείφοντες βιαζόμενοι οὐκ εἰδότες, ὅτι “**πᾶσα μὲν φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατὴρ ὁ οὐράνιος ἐκριζωθήσεται**” [Matt. 15:13], “**τὸ δὲ ῥῆμα τοῦ κυρίου**” τὸ διὰ τῆς οἰκουμενικῆς συνόδου ἐν τῇ Νικαίᾳ γενόμενον “**μένει εἰς τὸν αἰῶνα**” [1 Pet. 1:25]. ἄν τε γὰρ ἀριθμὸν ἀριθμῷ τις συμβάλοι, πλείους οἱ ἐν Νικαίᾳ τῶν κατὰ μέρος εἰσίν, ὅσον καὶ τὸ ὅλον πλεῖόν ἐστι τοῦ μέρους. ἄν τε τὸ αἴτιον τῆς ἐν Νικαίᾳ καὶ τῶν μετὰ ταύτην τοσούτων γενομένων συνόδων παρὰ τούτων διαγνῶναί τις ἐθέλοι, εὕροι ἂν τὴν μὲν ἐν Νικαίᾳ ἔχουσαν τὸ αἴτιον εὔλογον, τὰς δὲ ἄλλας διὰ μῖσος καὶ φιλονεικίαν ἐκ βίας συγκροτηθείσας. ἡ μὲν γὰρ διὰ τὴν ἀρειανὴν αἵρεσιν καὶ διὰ τὸ πάσχα συνήχθη, ἐπειδὴ οἱ κατὰ Συρίαν καὶ Κιλικίαν καὶ Μεσοποταμίαν διεφώνουν πρὸς ἡμᾶς καὶ τῷ καιρῷ, ἐν ᾧ ποιοῦσιν οἱ Ἰουδαῖοι, ἐποίουν καὶ αὐτοί. ἀλλὰ χάρις τῷ κυρίῳ, ὥσπερ περὶ τῆς πίστεως οὕτω καὶ περὶ τῆς ἁγίας ἑορτῆς γέγονε συμφωνία. καὶ τοῦτο ἦν τὸ αἴτιον τῆς ἐν Νικαίᾳ συνόδου· αἱ δὲ μετὰ ταύτην ὑπὲρ Ἀρείου μέν, κατὰ δὲ τῆς οἰκουμενικῆς συνόδου ἐπενοήθησαν.

*4* ... Εἴπερ οὖν τινες τὴν ᾿Αρίμηνον ὀνομάζουσι, δεικνύτωσαν πρῶτον τὴν καθαίρεσιν τῶν προειρημένων καὶ ἅπερ ἔγραψαν οἱ ἐπίσκοποι λέγοντες μηδὲν πλέον ζητεῖν τῶν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁμολογηθέντων μηδὲ ὀνομάζειν ἄλλην σύνοδον παρ᾿ ἐκείνην. ἀλλὰ ταῦτα μὲν κρύπτουσι, τὰ δὲ ἐν τῇ Θρᾴκῃ κατὰ βίαν πραχθέντα προβάλλονται· ἐξ ὧν δείκνυνται τῆς μὲν ἀρειανῆς αἱρέσεως ὄντες, ἀλλότριοι δὲ τῆς ὑγιαινούσης πίστεως. καὶ αὐτὴν δὲ τὴν μεγάλην σύνοδον καὶ τὰς παρ᾿ ἐκείνων ἄν τις ἐξετάζειν ἐκ παραλλήλου θέλοι, εὕροι ἂν τῶν μὲν τὴν θεοσέβειαν, τῶν δὲ τὴν ἀλογίαν. οἱ ἐν Νικαίᾳ συνελθόντες οὐ καθαιρεθέντες συνῆλθον, ἀλλὰ καὶ ὡμολόγησαν <ἐκ> τῆς οὐσίας τοῦ πατρὸς εἶναι τὸν υἱόν· οὗτοι δὲ καὶ ἅπαξ καὶ δεύτερον καθαιρεθέντες καὶ τρίτον ἐν αὐτῇ τῇ ᾿Αριμήνῳ γράφειν ἐτόλμησαν, μὴ χρῆναι λέγειν οὐσίαν ἢ ὑπόστασιν ἔχειν τὸν θεόν. ἐκ δὴ τούτων σκοπεῖν ἔξεστιν, ἀδελφοί, ὡς οἱ μὲν ἐν Νικαίᾳ τῶν γραφῶν πνέουσι λέγοντος αὐτοῦ τοῦ θεοῦ ἐν μὲν τῇ ἐξόδῳ· "**ἐγώ εἰμι ὁ ὤν**" [Exod. 3:14], διὰ δὲ τοῦ ῾Ιερεμίου· "**τίς ἔστη ἐν ὑποστήματι αὐτοῦ καὶ εἶδε τὸν λόγον αὐτοῦ**" [Jer. 23:18]; καὶ μετ᾿ ὀλίγον· "**καὶ ἔστησαν ἐν τῇ ὑποστάσει μου καὶ ἤκουσαν τῶν λόγων μου**" [Jer. 23:22]. ἡ δὲ ὑπόστασις οὐσία ἐστὶ καὶ οὐδὲν ἄλλο σημαινόμενον ἔχει ἢ αὐτὸ τὸ ὄν, ὅπερ ῾Ιερεμίας ὕπαρξιν ὀνομάζει λέγων· καὶ "**οὐκ ἤκουσαν φωνὴν ὑπάρξεως**" [Jer. 9:10]. ἡ γὰρ ὑπόστασις καὶ ἡ οὐσία ὕπαρξίς ἐστιν· ἔστι γὰρ καὶ ὑπάρχει. τοῦτο νοῶν καὶ ὁ Παῦλος ἔγραψεν ῾Εβραίοις· "**ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ**" [Heb. 1:3]. οὗτοι δὲ οἱ δοκοῦντες εἰδέναι τὰς γραφὰς καὶ ὀνομάζοντες ἑαυτοὺς εἶναι σοφοὺς μὴ θέλοντες ὑπόστασιν λέγειν ἐπὶ θεοῦ - τοῦτο γὰρ ἔγραψαν ἐν τῇ ᾿Αριμήνῳ καὶ ἐν ἄλλαις ἑαυτῶν συνόδοις - πῶς οὐ δικαίως καθηρέθησαν λέγοντες καὶ αὐτοὶ ὡς "**ἄφρων ἐν καρδίᾳ· οὐκ ἔστι θεός**" [Ps. 14:1]; πάλιν τε οἱ πατέρες ἐδίδαξαν ἐν τῇ Νικαίᾳ μὴ εἶναι κτίσμα ἢ ποίημα τὸν τοῦ θεοῦ λόγον ἀναγνόντες· "**πάντα δι᾿ αὐτοῦ ἐγένετο**" [John 1:3] καὶ "**ἐν αὐτῷ τὰ πάντα ἐκτίσθη**" καὶ "**συνέστηκεν**" [Col. 1:16-17] οὗτοι δὲ οἱ μᾶλλον ᾿Αρειανοὶ ἢ Χριστιανοὶ ὄντες ἐν ταῖς ἄλλαις ἑαυτῶν συνόδοις κτίσμα τετολμήκασιν εἰπεῖν αὐτὸν καὶ ἕνα τῶν ποιημάτων, ὧν αὐτός ἐστιν ὁ λόγος δημιουργὸς καὶ ποιητής. εἰ γὰρ δι᾿ αὐτοῦ τὰ πάντα γέγονε, κτίσμα δέ ἐστι καὶ αὐτός, εἴη ἂν καὶ ἑαυτὸν κτίζων. καὶ πῶς δύναται τὸ κτιζόμενον κτίζειν ἢ πῶς ὁ κτίζων κτίζεται;

| **Theodoret** | **Athanasius, *Letter to the Bishops of Africa*** |
| --- | --- |
| 1.8.7 "τῶν γὰρ συνελθόντων ἐπισκόπων βουλομένων τὰς μὲν παρὰ τῶν Ἀρειανῶν ἐφευρεθείσας τῆς ἀσεβείας λέξεις ἀνελεῖν, τὸ ἐξ οὐκ ὄντων καὶ τὸ λέγειν κτίσμα καὶ ποίημα τὸν υἱὸν καὶ τὸ ἦν ποτε ὅτε οὐκ ἦν καὶ ὅτι τρεπτῆς ἐστι φύσεως, τὰς δὲ τῶν γραφῶν ὁμολογουμένας γράψαι, ὅτι τε ἐκ τοῦ θεοῦ ὁ υἱὸς φύσει μονογενής ἐστι, λόγος, δύναμις, σοφία μόνη τοῦ πατρός, "**θεὸς ἀληθινός**" [John 17:3] ὡς εἶπεν ὁ Ἰωάννης, καὶ ὡς ἔγραψεν ὁ Παῦλος "**ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς τοῦ πατρὸς ὑποστάσεως**" [Heb. 1:3], οἱ περὶ Εὐσέβιον ὑπὸ τῆς ἰδίας κακοδοξίας ἑλκόμενοι διελάλουν ἀλλήλοις· συνθώμεθα· καὶ γὰρ καὶ ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν·<br>1.8.8 "**εἷς γὰρ θεὸς ἐξ οὗ τὰ πάντα,**" καὶ "**τὰ ἀρχαῖα παρῆλθεν, ἰδού, γέγονε τὰ πάντα καινά. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ.**" ἐλογίζοντο δὲ καὶ τὸ ἐν τῷ Ποιμένι γραφέν· "πρῶτον πάντων πίστευσον ὅτι εἷς ἐστιν ὁ θεός, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας, καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι."<br>1.8.9 "ἀλλ' οἱ ἐπίσκοποι, θεωρήσαντες τὴν κακουργίαν ἐκείνων καὶ τὴν τῆς ἀσεβείας κακοτεχνίαν, λευκότερον εἰρήκασι τὸ ἐκ τοῦ θεοῦ καὶ ἔγραψαν ἐκ τῆς οὐσίας τοῦ θεοῦ εἶναι τὸν υἱόν, ἵνα τὰ μὲν κτίσματα, διὰ τὸ μὴ ἀφ' ἑαυτῶν χωρὶς αἰτίου εἶναι ἀλλ' ἀρχὴν ἔχειν τοῦ γίνεσθαι, λέγηται ἐκ τοῦ θεοῦ, ὁ δὲ υἱὸς μόνος ἴδιος ἐκ τῆς τοῦ πατρὸς οὐσίας.<br>1.8.10 τοῦτο γὰρ ἴδιον μονογενοῦς καὶ ἀληθινοῦ λόγου τοῦ πατρός. καὶ περὶ μὲν τοῦ γεγράφθαι ἐκ τῆς οὐσίας ἡ πρόφασις αὕτη. Πάλιν δὲ τῶν ἐπισκόπων ἐρωτώντων τοὺς δοκοῦντας ὀλίγους εἰ λέγοιεν τὸν υἱὸν οὐ κτίσμα, ἀλλὰ δύναμιν σοφίαν τε μόνην τοῦ πατρὸς καὶ εἰκόνα ἀΐδιόν τε καὶ ἀπαράλλακτον κατὰ πάντα τοῦ πατρὸς καὶ θεὸν ἀληθινόν, κατελήφθησαν οἱ περὶ Εὐσέβιον διανεύοντες ἀλλήλοις ὅτι· "καὶ | 5 τῶν γὰρ συνελθόντων ἐπισκόπων βουλομένων τὰς μὲν παρὰ τῶν ᾿Αρειανῶν ἐφευρεθείσας τῆς ἀσεβείας λέξεις ἀνελεῖν, τὸ ἐξ οὐκ ὄντων καὶ τὸ λέγειν κτίσμα καὶ ποίημα τὸν υἱόν καὶ ἦν ποτε ὅτε οὐκ ἦν καὶ ὅτι τρεπτῆς ἐστι φύσεως, τὰς δὲ τῶν γραφῶν ὁμολογουμένας γράψαι, ὅτι τε ἐκ τοῦ θεοῦ ὁ υἱὸς φύσει μονογενής ἐστιν, λόγος, δύναμις, σοφία μόνη τοῦ πατρός, "**θεὸς ἀληθινὸς**" [John 17:3] ὡς εἶπεν ὁ ᾿Ιωάννης καὶ ὡς ἔγραψεν ὁ Παῦλος "**ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς τοῦ πατρὸς ὑποστάσεως**" {Heb. 1:3], οἱ περὶ Εὐσέβιον ὑπὸ τῆς ἰδίας κακοδοξίας ἑλκόμενοι διελάλουν ἀλλήλοις· συνθώμεθα. καὶ γὰρ καὶ ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν· "**εἷς γὰρ θεός, ἐξ οὗ τὰ πάντα**" καὶ "**τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινά. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ.**" ἐλογίζοντο δὲ καὶ τὸ ἐν τῷ Ποιμένι γραφέν· "πρῶτον πάντων πίστευσον, ὅτι εἷς ἐστιν ὁ θεὸς ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι." ἀλλ᾿ οἱ ἐπίσκοποι θεωρήσαντες τὴν πανουργίαν ἐκείνων καὶ τὴν τῆς ἀσεβείας κακοτεχνίαν λευκότερον εἰρήκασι τὸ ἐκ τοῦ θεοῦ καὶ ἔγραψαν ἐκ τῆς οὐσίας τοῦ θεοῦ εἶναι τὸν υἱόν, ἵνα τὰ μὲν κτίσματα διὰ τὸ μὴ ἀφ᾿ ἑαυτῶν χωρὶς αἰτίου εἶναι ἀλλὰ ἀρχὴν ἔχειν τοῦ γενέσθαι λέγηται ἐκ τοῦ θεοῦ, ὁ δὲ υἱὸς μόνος ἴδιος τῆς τοῦ πατρὸς οὐσίας· τοῦτο γὰρ ἴδιον μονογενοῦς καὶ ἀληθινοῦ λόγου πρὸς πατέρα. καὶ περὶ μὲν τοῦ γεγράφθαι ἐκ τῆς οὐσίας ἡ πρόφασις αὕτη, πάλιν δὲ τῶν ἐπισκόπων ἐρωτώντων τοὺς δοκοῦντας λογίους, εἴπερ λέγοιεν τὸν υἱὸν οὐ κτίσμα ἀλλὰ δύναμιν, σοφίαν μόνην τοῦ πατρὸς καὶ εἰκόνα ἀίδιον ἀπαράλλακτον κατὰ πάντα τοῦ πατρὸς καὶ θεὸν ἀληθινόν, κατελήφθησαν οἱ περὶ Εὐσέβιον διανεύοντες ἀλλήλοις ὅτι· καὶ ταῦτα φθάνει καὶ εἰς ἡμᾶς· καὶ γὰρ καὶ ἡμεῖς καὶ "**εἰκὼν καὶ δόξα θεοῦ**" λεγόμεθα καὶ περὶ ἡμῶν εἴρηται· "**ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες**" καὶ δυνάμεις πολλαί εἰσι· "**καὶ ἐξῆλθε μὲν πᾶσα ἡ δύναμις κυρίου ἐκ γῆς Αἰγύπτου**." ἡ δὲ κάμπη καὶ ἡ ἀκρὶς λέγεται δύναμις μεγάλη· καὶ "**κύριος τῶν δυνάμεων μεθ᾿ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς ᾿Ιακώβ**." ἀλλὰ γὰρ καὶ τὸ ἰδίους ἡμᾶς εἶναι τοῦ θεοῦ ἔχομεν |

| | |
|---|---|
| ταῦτα φθάνει καὶ εἰς ἡμᾶς· καὶ γὰρ καὶ ἡμεῖς “**εἰκὼν καὶ δόξα θεοῦ**” λεγόμεθα, καὶ περὶ ἡμῶν εἴρηται “**ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες**·”<br>1.8.11 καὶ δυνάμεις πολλαί εἰσιν, καὶ “**ἐξῆλθε μὲν πᾶσα ἡ δύναμις τοῦ θεοῦ ἐκ γῆς Αἰγύπτου**,” “ἡ δὲ κάμπη καὶ ἡ ἀκρὶς” λέγεται “δύναμις μεγάλη,” καὶ “**κύριος τῶν δυνάμεων μεθ’ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.**” ἀλλὰ καὶ τὸ ἰδίους ἡμᾶς εἶναι τοῦ θεοῦ ἔχομεν οὐχ ἁπλῶς, ἀλλ’ ὅτι καὶ ἀδελφοὺς ἡμᾶς ἐκάλεσεν.<br>1.8.12 εἰ δὲ καὶ θεὸν ἀληθινὸν λέγουσι τὸν υἱόν, οὐ λυπεῖ ἡμᾶς· γενόμενος γὰρ ἀληθινός ἐστιν.” Αὕτη τῶν Ἀρειανῶν ἡ διεφθαρμένη διάνοια. ἀλλὰ καὶ ἐνταῦθα οἱ ἐπίσκοποι, θεωρήσαντες ἐκείνων τὸ δόλιον, συνήγαγον ἐκ τῶν γραφῶν τὸ ἀπαύγασμα τήν τε πηγὴν καὶ ποταμὸν καὶ χαρακτῆρα πρὸς τὴν ὑπόστασιν, καὶ τὸ “**ἐν τῷ φωτί σου ὀψόμεθα φῶς,**” καὶ τὸ “**ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.**”<br>1.8.13 καὶ λευκότερον λοιπὸν καὶ συντόμως ἔγραψαν ὁμοούσιον τῷ πατρὶ τὸν υἱόν. τὰ γὰρ προειρημένα πάντα ταύτην ἔχει τὴν σημασίαν.<br>1.8.14 καὶ ὁ γογγυσμὸς δὲ αὐτῶν, ὅτι ἄγραφοί εἰσιν αἱ λέξεις, ἐλέγχεται παρ’ αὐτῶν μάταιος· ἐξ ἀγράφων γὰρ ἀσεβήσαντες (ἄγραφα δὲ τὸ ἐξ οὐκ ὄντων καὶ τὸ ἦν ποτε ὅτε οὐκ ἦν), αἰτιῶνται διότι ἐξ ἀγράφων μετ’ εὐσεβείας νοουμένων λέξεων κατεκρίθησαν. αὐτοὶ μὲν γὰρ ὡς ἐκ κοπρίας εὑρόντες ἐλάλησαν ἀληθῶς ἀπὸ γῆς, οἱ δὲ ἐπίσκοποι, οὐχ ἑαυτοῖς εὑρόντες τὰς λέξεις ἀλλ’ ἐκ τῶν πατέρων ἔχοντες τὴν μαρτυρίαν, οὕτως ἔγραψαν.<br>1.8.15 ἐπίσκοποι γὰρ ἀρχαῖοι, πρὸ ἐτῶν ἐγγύς που ἑκατὸν τριάκοντα, τῆς τε μεγάλης Ῥώμης καὶ τῆς ἡμετέρας πόλεως, ᾐτιάσαντο τοὺς ποίημα λέγοντας τὸν υἱὸν καὶ μὴ ὁμοούσιον τῷ πατρί. καὶ τοῦτο ἐγίνωσκεν Εὐσέβιος ὁ γενόμενος ἐπίσκοπος τῆς Καισαρείας, πρότερον μὲν συντρέχων τῇ Ἀρειανῇ αἱρέσει, ὕστερον δὲ ὑπογράψας τῇ ἐν Νικαίᾳ συνόδῳ·<br>1.8.16 ἔγραψε καὶ τοῖς ἰδίοις διαβεβαιούμενος ὅτι καὶ τῶν παλαιῶν τινας λογίους καὶ ἐπιφανεῖς ἐπισκόπους καὶ συγγραφέας ἔγνωμεν ἐπὶ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ θεότητος τῷ τοῦ ὁμοουσίου χρησαμένους ὀνόματι.” | οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτι καὶ ἀδελφοὺς ἡμᾶς ἐκάλεσεν. εἰ δὲ καὶ θεὸν ἀληθινὸν λέγουσι τὸν υἱόν, οὐ λυπεῖ ἡμᾶς· γενόμενος γὰρ ἀληθινός ἐστιν.<br>6 Αὕτη τῶν ᾿Αρειανῶν ἡ ἐφθαρμένη διάνοια. ἀλλὰ καὶ ἐνταῦθα οἱ ἐπίσκοποι θεωρήσαντες ἐκείνων τὸ δόλιον συνήγαγον ἐκ τῶν γραφῶν τὸ ἀπαύγασμα τήν τε πηγὴν καὶ τὸν ποταμὸν καὶ τὸν χαρακτῆρα πρὸς τὴν ὑπόστασιν καὶ τὸ “**ἐν τῷ φωτί σου ὀψόμεθα φῶς**,” καὶ τὸ “**ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν**,” καὶ λευκότερον λοιπὸν καὶ συντόμως ἔγραψαν ὁμοούσιον τῷ πατρὶ τὸν υἱόν· τὰ γὰρ προειρημένα πάντα ταύτην ἔχει τὴν σημασίαν. καὶ ὁ γογγυσμὸς δὲ αὐτῶν, ὅτι ἄγραφοί εἰσιν αἱ λέξεις, ἐλέγχεται παρ᾽ αὐτῶν μάταιος· ἐξ ἀγράφων ἀσεβήσαντες (ἄγραφα δὲ τὸ ἐξ οὐκ ὄντων καὶ τὸ ἦν ποτε ὅτε οὐκ ἦν) αἰτιῶνται, ὅτι ἐξ ἀγράφων μετ᾽ εὐσεβείας νοουμένων λέξεων κατεκρίθησαν. αὐτοὶ μὲν ὡς ἐκ κοπρίας ὄντες ἐλάλησαν ἀληθῶς ἀπὸ γῆς, οἱ δὲ ἐπίσκοποι οὐχ ἑαυτοῖς εὑρόντες τὰς λέξεις ἀλλ᾽ ἐκ πατέρων ἔχοντες τὴν μαρτυρίαν οὕτως ἔγραψαν. ἐπίσκοποι γὰρ ἀρχαῖοι πρὸ αὐτῶν ἐγγύς που ἑκατὸν τριάκοντα τῆς μεγάλης ῾Ρώμης καὶ τῆς ἡμετέρας πόλεως γράφοντες ᾐτιάσαντο τοὺς ποίημα λέγοντας τὸν υἱὸν καὶ μὴ ὁμοούσιον τῷ πατρί. καὶ τοῦτο ἐγίνωσκεν Εὐσέβιος ὁ γενόμενος ἐπίσκοπος τῆς Καισαρείας πρότερον μὲν συντρέχων τῇ ἀρειανῇ αἱρέσει, ὕστερον δὲ ὑπογράψας ἐν αὐτῇ τῇ ἐν Νικαίᾳ συνόδῳ ἔγραψε τοῖς ἰδίοις διαβεβαιούμενος, ὅτι καὶ τῶν παλαιῶν τινας λογίους καὶ ἐπιφανεῖς ἐπισκόπους καὶ συγγραφέας ἔγνωμεν ἐπὶ τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεότητος τῷ τοῦ ὁμοουσίου χρησαμένους ὀνόματι. |

## Athanasius, *Letter to the Bishops of Africa*

11 … Αὕτη γὰρ ἡ ἐν Νικαίᾳ σύνοδος ἀληθῶς στηλογραφία κατὰ πάσης αἱρέσεώς ἐστιν. αὕτη καὶ τοὺς βλασφημοῦντας εἰς τὸ πνεῦμα τὸ ἅγιον καὶ λέγοντας αὐτὸ κτίσμα ἀνατρέπει. εἰρηκότες γὰρ οἱ πατέρες περὶ τῆς εἰς τὸν υἱὸν πίστεως ἐπήγαγον εὐθύς· πιστεύομεν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἵνα τελείαν καὶ πλήρη τὴν εἰς τὴν ἁγίαν τριάδα πίστιν ὁμολογήσαντες τὸν χαρακτῆρα τῆς ἐν Χριστῷ πίστεως καὶ τὴν διδασκαλίαν τῆς καθολικῆς ἐκκλησίας ἐν τούτῳ γνωρίσωσι. δῆλον γὰρ καὶ παρ᾽ ὑμῖν καὶ παρὰ πᾶσι καθέστηκε καὶ οὐδεὶς ἂν Χριστιανῶν ἀμφίβολον εἰς τοῦτο σχοίη τὴν διάνοιαν, ὡς οὐκ ἔστιν ἡμῶν ἡ πίστις εἰς τὴν κτίσιν, ἀλλ᾽ εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν <καὶ> εἰς ἕνα κύριον ᾿Ιησοῦν Χριστόν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ <καὶ> εἰς ἓν πνεῦμα ἅγιον· ἕνα θεὸν τὸν ἐν τῇ ἁγίᾳ καὶ τελείᾳ τριάδι γινωσκόμενον, εἰς ἣν καὶ βαπτιζόμενοι καὶ ἐν ταύτῃ συναπτόμενοι τῇ θεότητι πιστεύομεν καὶ κληρονομῆσαι βασιλείαν οὐρανῶν ἐν Χριστῷ ᾿Ιησοῦ τῷ κυρίῳ ἡμῶν, δι᾽ οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

## Theodoret

| |
|---|
| 1.8.17 Οὗτοι μὲν οὖν κατακρύψαντες τὴν νόσον (ἔδεισαν γὰρ τῶν ἐπισκόπων τὸ πλῆθος) τοῖς ἐκτεθεῖσι συνέθεντο, τὴν προφητικὴν κατηγορίαν ἐπισπασάμενοι. βοᾷ γὰρ καὶ πρὸς αὐτοὺς ὁ τῶν ὅλων θεός· "**ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ**."<br>1.8.18 Θεωνᾶς δὲ καὶ Σεκοῦνδος, τοῦτο δρᾶσαι μὴ βουληθέντες, παρὰ πάντων συμφώνως ἀπεκηρύχθησαν, ὡς τὴν Ἀρείου βλασφημίαν τῆς εὐαγγελικῆς προτετιμηκότες διδασκαλίας. Αὖθις δὲ συνελθόντες εἰς τὸ συνέδριον περὶ τῆς ἐκκλησιαστικῆς πολιτείας νόμους ἔγραψαν εἴκοσι. |

## The decisions of the Council are transmitted throughout the world

| Gelasius | Anonymous Church History |
|---|---|
| | 2.37.31 Ἐκεῖνο μόνον προσθεῖναι ἐνταῦθα ἀναγκαῖον ᾠήθην (μὴ πάρεργον ἡγησάμενος, ἀλλὰ καὶ λίαν ἁρμόδιον)· τὰ τῶν ἐπισκόπων ὀνόματα τῶν ὑπὸ τοῦ κοινοῦ πάντων τῶν ἐπισκόπων εἰς τὰς ἁπανταχοῦ γῆς ἐπαρχίας σταλέντων, δι' ὧν τὰ ὑπὸ τῆς συνόδου κριθέντα διὰ συνοδικῶν ἐπιστολῶν καὶ τῶν τοῦ πανευφήμου βασιλέως γραμμάτων πάσαις διεπέμψατο ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις εἰς δόξαν τοῦ θεοῦ καὶ πατρὸς καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν καὶ τοῦ ἁγίου πνεύματος. ἀμήν. |
| F14 (p. 116) Ὅσιος ἐπίσκοπος Κουρδούβης ταῖς κατὰ Ῥώμην καὶ Σπανίαν καὶ Ἰταλίαν πᾶσαν καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι τοῖς ἐπέκεινα κατ᾽ἐμὲ οὖσιν ἕως τοῦ Ὠκεανοῦ ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις διὰ τῶν σὺν αὐτῷ πρεσβυτέρων Ῥώμης Βίτωνος καὶ Βικεντίου. Ἀλέξανδρος Ἀλεξανδρείας σὺν Ἀθανασίῳ τότε ἀρχιδιακόνῳ ὄντι ταῖς κατ᾽Αἴγυπτον πᾶσαν, Λιβύην καὶ Πεντάπολιν καὶ τὰ ὅμορα τούτοις ἕως τῶν τῆς Ἰνδίας ἐπαρχιῶν. Μακάριος Ἱεροσολύμων σὺν Εὐσεβίῳ τῷ Παμφίλου ἐπισκόπῳ Καισαρείας ταῖς κατὰ Παλαιστίνην καὶ Ἀραβίαν καὶ Φοινίκην. Εὐστάθιος Ἀντιοχείας τῆς μεγάλης ταῖς κατὰ Συρίαν κοίλην καὶ Μεσοποταμίαν πᾶσαν καὶ Κιλικίαν ἑκατέραν. Ἰωάννης Πέρσης ταῖς ἐν Περσίδι πάσῃ καὶ τῇ μεγάλῃ Ἰνδίᾳ. Λεόντιος Καισαρείας Καππαδοκίας τὸ τῆς ἐκκλησίας τοῦ κυρίου καλλώπισμα ταῖς κατ᾽αὐτὴν Καππαδοκίαν Γαλατίαν Πόντον Διοσπόντου Παφλαγονίαν Πόντον Πολεμωνιακὸν Ἀρμενίαν μικρὰν καὶ μεγάλην. Θεωνᾶς Κυζίκου ταῖς κατὰ τὴν Ἀσίαν καὶ Ἑλλήσποντον, Λυδίαν τε καὶ Καρίαν διὰ τῶν ὑπ᾽αὐτὸν ἐπισκόπων Εὐτυχίου Σμύρνης καὶ Μαρίνου Τρῳάδος. Ἀλέξανδρος Θεσσαλονίκης διὰ τῶν ὑπ᾽αὐτὸν τελούντων ταῖς κατὰ Μακεδονίαν πρώτην καὶ δευτέραν σὺν ὅλῃ Ἑλλάδι την τε Εὐρώπην πᾶσαν, Σκυθίαν ἑκατέραν, καὶ ταῖς κατὰ τὸ Ἰλλυρικὸν ἁπάσαις Θεσσαλίαν τε καὶ Ἀχάιαν. Νουνέχιος Λαοδικείας ταῖς κατὰ τὴν Φρυγίαν πρώτην καὶ δευτέραν. Πρωτογένης ὁ θαυμάσιος πόλεως Σαρδικῆς ταῖς ἐν Δακίᾳ Καλαβρίᾳ Δαρδανίᾳ καὶ ταῖς ὁμόροις τούτοις. Κεκιλιανὸς πόλεως Καρθαγένης ταῖς κατὰ πάσας τὰς ἐπαρχίας τάς τε Ἀφρικὰς καὶ τὰς Νουμηδίας καὶ Μαυριτανίας ἀμφοτέρας οὔσαις ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις. Πίστος Μαρκιανουπόλεως ταῖς κατὰ τὴν Μυσίαν καὶ τὰ τῶν Ἀθηνῶν καὶ Γάλλων ἔθνη καὶ ταῖς πλησιοχώροις τούτων πόλεσιν. Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος ἔτι ὤν, εἰς ὕστερον δὲ καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι ἐκκλησίας λαχών, σὺν Παύλῳ | 2.38.1 Ὅσιος ἐπίσκοπος Κουρδούβης ταῖς κατὰ Ῥώμην καὶ Σπανίαν καὶ Ἰταλίαν πᾶσαν καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι τοῖς ἐπέκεινα κατ' ἐμὲ οὖσιν ἕως τοῦ Ὠκεανοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις διὰ τῶν σὺν αὐτῷ πρεσβυτέρων Ῥώμης Βίτωνος καὶ Βικεντίου.<br>2.38.2 Ἀλέξανδρος Ἀλεξανδρείας σὺν Ἀθανασίῳ τότε ἀρχιδιακόνῳ ὄντι ταῖς κατ' Αἴγυπτον πᾶσαν καὶ Λιβύην καὶ Πεντάπολιν καὶ τὰ ὅμορα τούτοις ἕως τῶν τῆς Ἰνδίας ἐπαρχιῶν.<br>2.38.3 Μακάριος Ἱεροσολύμων σὺν Εὐσεβίῳ τῷ Παμφίλου ἐπισκόπῳ Καισαρείας ταῖς κατὰ Παλαιστίνην καὶ Ἀραβίαν καὶ Φοινίκην.<br>2.38.4 Εὐστάθιος Ἀντιοχείας τῆς μεγάλης ταῖς κατὰ Συρίαν κοίλην καὶ Μεσοποταμίαν πᾶσαν καὶ Κιλικίαν ἑκατέραν.<br>2.38.5 Ἰωάννης Πέρσης ταῖς ἐν Περσίδι πάσῃ καὶ τῇ μεγάλῃ Ἰνδίᾳ.<br>2.38.6 Λεόντιος Καισαρείας Καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ κυρίου καλλώπισμα, ταῖς κατ' αὐτὴν Καππαδοκίαν Γαλατίαν Πόντον Διοσπόντου Παφλαγονίαν Πόντον Πτολεμαϊκὸν Ἀρμενίαν μικρὰν καὶ μεγάλην.<br>2.38.7 Θεωνᾶς Κυζίκου ταῖς κατὰ τὴν Ἀσίαν καὶ Ἑλλήσποντον Λυδίαν τε καὶ Καρίαν διὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων Εὐτυχίου Σμύρνης καὶ Μαρίνου Τρωάδος.<br>2.38.8 Ἀλέξανδρος Θεσσαλονίκης διὰ τῶν ὑπ' αὐτὸν τελούντων ταῖς κατὰ Μακεδονίαν πρώτην καὶ δευτέραν σὺν ὅλῃ Ἑλλάδι τήν τε Εὐρώπην πᾶσαν Σκυθίαν ἑκατέραν καὶ ταῖς κατὰ τὸ Ἰλλυρικὸν ἁπάσαις Θεσσαλίαν τε καὶ Ἀχαΐαν.<br>2.38.9 Νουνέχιος Λαοδικείας ταῖς κατὰ τὴν Φρυγίαν πρώτην καὶ δευτέραν.<br>2.38.10 Πρωτογένης ὁ θαυμάσιος πόλεως Σαρδικῆς ταῖς ἐν Δακίᾳ Καλαβρίᾳ Δαρδανίᾳ καὶ ταῖς ὁμόροις τούτοις.<br>2.38.11 Κεκιλιανὸς πόλεως Καρθαγένης ταῖς κατὰ πάσας τὰς ἐπαρχίας τάς τε Ἀφρικὰς καὶ τὰς Νουμηδίας καὶ Μαυριτανίας ἀμφοτέρας οὔσαις ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις.<br>2.38.12 Πιστὸς Μαρκιανουπόλεως ταῖς κατὰ τὴν Μυσίαν καὶ τὰ τῶν Ἀθηνῶν καὶ Γάλλων ἔθνη καὶ ταῖς πλησιοχώροις τούτων πόλεσιν. |

| | |
|---|---|
| ἔτι τότε ἀναγνώστῃ ὄντι καὶ νοταρίῳ αὐτοῦ ταῖς ἐν ταῖς νήσοις πάσαις Κυκλάσιν. Οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις τὰ ἐν τῇ Νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκριμένα διαπορθμεύσαντες πανταχοῦ γῆς παρέδωκαν, καθὰ ἀρτίως ὁ λόγος ἀπέδειξεν. | 2.38.13 Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος ἔτι ὢν εἰς ὕστερον δὲ καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι ἐκκλησίας λαχὼν σὺν Παύλῳ ἔτι τότε ἀναγνώστῃ ὄντι καὶ νοταρίῳ αὐτοῦ ταῖς ἐν ταῖς νήσοις πάσαις Κυκλάσιν. 2.38.14 Οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τὰ ἐν τῇ Νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκριμένα διαπορθμεύσαντες, πανταχοῦ γῆς παρέδωκαν, καθὰ ἀρτίως ὁ λόγος ἀπέδειξεν. |

## Eustathius’ account of the Nicene Council

### Theodoret

1.7.18 Εὐστάθιος μὲν γὰρ ἐκεῖνος ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος, οὗ καὶ πρόσθεν ἐμνήσθην, ταῦτα περὶ αὐτῶν ἔγραψε, τά τε γεγενημένα διδάσκων καὶ τὴν βλασφημίαν ἐλέγχων καὶ τὴν παροιμιακὴν ἑρμηνεύων ῥῆσιν· “κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.”

1.8.1 “Βαδιοῦμαι δὲ ἐντεῦθεν ἤδη καὶ ἐπὶ τὰ πεπραγμένα. τί οὖν; ἐπειδὴ διὰ ταῦτα σύνοδος εἰς τὴν Νικαέων ἀφικνεῖται μεγίστη, διακοσίων μήτι γε καὶ ἑβδομήκοντα τὸν ἀριθμὸν ὁμόσε συναχθέντων (τὸ γὰρ σαφὲς διὰ τὸν τῆς πολυανδρίας ὄχλον οὐχ οἷός τέ εἰμι γράφειν, ἐπειδὴ μὴ πάντη τοῦτο περισπουδάστως ἀνίχνευον), ὡς δὲ ‹ἐ›ζητεῖτο τῆς πίστεως ὁ τρόπος, ἐναργὴς μὲν ἔλεγχος τὸ γράμμα τῆς Εὐσεβίου προὐβάλλετο βλασφημίας.

1.8.2 ἐπὶ πάντων δὲ ἀναγνωσθέν, αὐτίκα συμφορὰν μὲν ἀστάθμητον τῆς ἐκτροπῆς ἕνεκα τοῖς αὐτηκόοις προὐξένει, αἰσχύνην δ’ ἀνήκεστον τῷ γράψαντι παρεῖχεν.

1.8.3 ἐπειδὴ δὲ τὸ ἐργαστήριον τῶν ἀμφὶ τὸν Εὐσέβιον σαφῶς ἑάλω, τοῦ παρανόμου γράμματος διαρραγέντος ὑπ’ ὄψει πάντων ὁμοῦ, τινὲς ἐκ συσκευῆς, τοὔνομα προβαλλόμενοι τῆς εἰρήνης, κατεσίγησαν μὲν ἅπαντας τοὺς ἄριστα λέγειν εἰωθότας. οἱ δ’ Ἀρειομανῖται, δείσαντες μή πη ἄρα τοσαύτης ἐν ταὐτῷ συνόδου συγκεκροτημένης ἐξοστρακισθεῖεν, ἀναθεματίζουσι μὲν προπηδήσαντες τὸ ἀπηγορευμένον δόγμα, συμφώνοις γράμμασιν ὑπογράψαντες αὐτοχειρί.

1.8.4 τῶν δὲ προεδριῶν διὰ πλείστης ὅσης περιδρομῆς κρατήσαντες, δέον αὐτοὺς ὑπόπτωσιν λαμβάνειν, τοτὲ μὲν λεληθότως, τοτὲ δὲ προφανῶς τὰς ἀποψηφισθείσας πρεσβεύουσι δόξας, διαφόροις ἐπιβουλεύοντες τοῖς ἐλέγχοις. βουλόμενοι δὲ δὴ παγιῶσαι τὰ ζιζανιώδη φυτουργήματα, δεδοίκασι τοὺς ἐπιγνώμονας, ἐκκλίνουσι τοὺς ἐφόρους καὶ ταύτῃ τοὺς τῆς εὐσεβείας κήρυκας ἐκπολεμοῦσιν.

1.8.5 οὐχ οὕτως δὲ πιστεύομεν ὡς ἀνθρώπους ἀθέους δύνασθαι κρατῆσαί πώποτε τοῦ θείου. κἂν γὰρ **πάλιν ἰσχύσωσι, πάλιν ἡττηθήσονται**, κατὰ τὸν σεμνόφωνον προφήτην Ἡσαΐαν.”

1.8.6a Ταῦτα μὲν οὖν ὁ μέγας Εὐστάθιος.

## The reliability of Eusebius

### Socrates

1.8.24 Τοιαῦτα καὶ περὶ τούτων ταῖς ἑαυτοῦ φωναῖς ὁ Εὐσέβιος ἐγγράφως κατέλιπεν. Ἡμεῖς δὲ οὐκ ἀκαίρως αὐτοῖς ἐχρησάμεθα, ἀλλ’ ὡς μάρτυσι χρώμενοι τοῖς ὑπ’ αὐτοῦ λεχθεῖσι, τῇδε αὐτὰ κατετάξαμεν τῇ γραφῇ, ἵνα, ὅταν τινὲς τῆς ἐν Νικαίᾳ συνόδου ὡς περὶ τὴν πίστιν σφαλείσης καταγινώσκωσιν, μὴ αὐτῶν ἀνεχώμεθα μηδὲ πιστεύωμεν Σαβίνῳ τῷ Μακεδονιανῷ, ἰδιώτας {αὐτοὺς} καὶ ἀφελεῖς καλοῦντι τοὺς ἐκεῖ συνελθόντας.

1.8.25 Σαβῖνος γὰρ ὁ τῶν ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης Μακεδονιανῶν ἐπίσκοπος συναγωγὴν ὧν διάφοροι σύνοδοι ἐγγράφως ἐξέδωκαν ποιησάμενος, τοὺς μὲν ἐν Νικαίᾳ συνελθόντας ὡς ἀφελεῖς καὶ ἰδιώτας διέσυρεν, μὴ αἰσθανόμενος, ὅτι καὶ αὐτὸν Εὐσέβιον τὸν μετὰ πολλῆς δοκιμασίας τὴν πίστιν ὁμολογήσαντα ὡς ἰδιώτην ἐνδιαβάλλει. Καὶ τινὰ μὲν ἑκὼν παρέλιπεν, τινὰ δὲ παρέτρεψεν, πάντα δὲ πρὸς τὸν οἰκεῖον σκοπὸν μᾶλλον ἐξείληφεν.

1.8.26 Καὶ ἐπαινεῖ μὲν ὡς ἀξιόπιστον μάρτυρα τὸν Παμφίλου Εὐσέβιον, ἐπαινεῖ δὲ καὶ τὸν βασιλέα ὡς τὰ Χριστιανῶν δογματίζειν δυνάμενον, μέμφεταί τε τῇ ἐκτεθείσῃ ἐν Νικαίᾳ πίστει ὡς ὑπὸ ἰδιωτῶν καὶ οὐδὲν ἐπισταμένων ἐκδεδομένῃ· καὶ ὃν ὡς σοφὸν καὶ ἀψευδῆ καλεῖ μάρτυρα, τούτου τὰς φωνὰς ἑκουσίως ὑπερορᾷ.

1.8.27 {Φησὶ γὰρ ὁ Εὐσέβιος, ὅτι τῶν παρόντων ἐν τῇ Νικαίᾳ τοῦ Θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στερρότητι, καὶ ὅτι ὁ βασιλεὺς παρὼν πάντας εἰς ὁμόνοιαν ἄγων ὁμογνώμονας καὶ ὁμοδόξους κατέστησεν.}

1.8.28a Ἀλλὰ Σαβίνου μέν, εἴ που χρεία καλέσοι, ποιησόμεθα μνήμην· ἡ δὲ ἐν Νικαίᾳ παρὰ τῆς μεγάλης συνόδου <ἐξενεχθεῖσα> καὶ ὑπὸ Εὐσεβίου μεγαλοφώνως ἐπαινεθεῖσα συμφωνία τῆς πίστεως ἔστιν αὕτη.

*Created by AGC. Edited by AGC and RR.*